TEZAUR LITURGIC

7 MARTIE

IOANNIS DIMITRIADIS

# SLUJBA SF.CUVIOS PAVEL CEL SIMPLU DE LA NITRIA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 07 ΜΑΡΤΙΟΣ
# ΠΑΥΛΟΣ ΟΣΙΟΣ ΑΠΛΟΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα**
**ἱερομονάχου Ἰωάννου Δημητριάδου Κατουνακιώτου**

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς ψυχῆς τὸ ἀκέραιον, καὶ τῶν τρόπων τὸ ἄπλαστον, τοῦ Θεοῦ τὴν χάριν πρὸς σὲ ἐφείλαυσαν, ὑφ' ἧς ηὐγάσθης πανόλβιε, καὶ ἦρας ἐπ' ὤμων σου, τοῦ Κυρίου τὸν Σταυρόν, θεῖε Παῦλε καὶ ἤσκησας, καρτερώτατα, ὑπαχθεὶς Ἀντωνίῳ τῷ μεγάλῳ, μεθ' οὗ πρέσβευε θεόφρον, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε. *(Δίς)*

Ἐν μικρῷ διαστήματι, χρονικῷ ὑπερήλασας, τοὺς πολλὰ ἀσκήσαντας ἔτη Ὅσιε, καὶ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ χρόνου μακρότητα, οὐδ' ἀσκήσεων πληθύν, δεῖται ὅλως μακάριε, πρὸς κατοίκησιν, ἀλλ' εὐθεῖαν καρδίαν καὶ πραεῖαν, καὶ ἀγάπην πρὸς ἀνθρώπους, ἄνευ δολίου φρονήματος. *(Δίς)*

Τῶν δαιμόνων κατάπτυσας, τὸν ἑσμὸν Παῦλε Ὅσιε, κατ' αὐτῶν Χριστοῦ σοι ἰσχὺν δωρήσαντι· διὸ πολλοὺς

ἠλευθέρωσας, τῆς τούτων κακώσεως, τυραννίας τε δεινῆς, θεοφόρε καὶ γέγονας, τούτων ἔνθεος, ἰατρὸς καὶ ἀλείπτας ἐργασίας, ἐντολῶν τῶν τοῦ Κυρίου, Ὃν ὑπὲρ πάντων ἱκέτευε.

Τοῦ Δαβὶδ τὴν ἁπλότητα, Μωϋσέως τὸ ἄκακον, ἀρετῆς τὸν ἔνθερμον ζῆλον ἔσχηκας, ὡς Ἠλιοῦ ὁ πανάριστος, καὶ θεῖος Ἀντώνιος, ὧν τοῖς ἴχνεσι σοφῶς, ἠκολούθεις θεόσοφε, ὅθεν χαίρεις νῦν, σὺν αὐτοῖς αὐλιζόμενος τῷ θρόνῳ, τοῦ Χριστοῦ Ὃν ὑπὲρ πάντων, ἐκδυσωπεῖτε μακάριοι.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε μοναστῶν τὰ συστήματα, καὶ τῶν ὀρθοδόξων τὸ ἄθροισμα, δεῦτε καὶ διδαχθῶμεν παρὰ τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ, καὶ ἡσυχίου τῷ πνεύματι, Παύλου τοῦ ἁπλοῦ, τὴν ὁδὸν τὴν φέρουσαν πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν. Οὗτος γὰρ ὁ μακάριος, οὐδόλως ταραχθεὶς ἐπὶ τῇ ἀθεμίτῳ πράξει, τῇ διαπραχθείσῃ ὑπὸ τῆς συζύγου αὐτοῦ, ἐν πλήρει ἀταραξίᾳ κατέλιπε ταύτην, καὶ ἦρεν ἐπ᾽ ὤμων τὸν ἐλαφρὸν ζυγὸν τοῦ Κυρίου· ἐν ᾧ θεαρέστως ἀσκήσας, ἐκάθηρεν ἑαυτὸν διὰ τῆς καταβολῆς τῶν παθῶν, καὶ τῆς προσκτήσεως τῶν ἀρετῶν. Ὅθεν καὶ γέγονεν ἔνθεον κατοικητήριον τῆς πανυμνήτου Τριάδος. Ἣ καὶ πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ

τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε' 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν.

Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ τὴν καρδίαν τὴν σήν, ὡς οὐρανὸν κατασκευάσας θεόσοφε, τῷ Πνεύματι τῷ Ἁγίῳ, προετοιμάσας αὐτήν, ἀρετάς ὥσπερ ἄστρα θέμενος· ὡς σελήνην δὲ Ὅσιε, τὴν ἁγίαν ταπείνωσιν, ἥλιον δ᾽ ὥσπερ, τοῦ Σωτῆρος τὸ ὄνομα, καὶ τὸν ἔρωτα, πρὸς Αὐτὸν τὸν θερμότατον· Οὗτινος τὴν ἐνέργειαν, καὶ ἄφραστον ἔλλαμψιν, ἐπαπολαύσας ἁπάντων, τῶν ἐπιγείων ἠλόγησας· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, θεόφρον Παῦλε σοφέ, ὁ καθαρίσας σοῦ τὸν νοῦν καὶ διάνοινα, καὶ κρύφια τῆς καρδίας, ἐκ πονηρῶν ἐννοιῶν, καὶ ὑπερηφάνων καὶ αἰσχρότητος· τῇ κλήσει ὀνόματος, Ἰησοῦ τοῦ παντάνακτος, καὶ ἱκεσίᾳ, τῇ θερμῇ καὶ ἀπαύστῳ τε, ἣν φλεγόμενος, ἐξ ἀγάπης ἀνέπεμπες, ἔνδον ἐκ τῆς καρδίας σου, λουόμενος δάκρυσιν, ὧνπερ γεννᾷ ἡ ἀγάπη, καὶ τῆς ψυχῆς ἡ ἐυλάβεια· Χριστὸν ἐκδυσώπει, τὰς ψυχὰς τῶν σὲ τιμώντων, φωτίσας Ὅσιε.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

Χαίροις, ὁ κατὰ κόσμον σμικρός, κατὰ ψυχὴν δὲ εὐγενὴς καὶ ἐπίσημος, ὡς φύσεως κοινωνήσας, τῆς θείας Παῦλε σοφέ, ἣν οἱ θεολόγοι ὀνομάζουσιν, ἁγίαν ἐνέργειαν, ὡς ἐκεῖθεν ἐκλάμπουσαν, ἀδιαιρέτως, ὡς ἀκτίνας ὁ ἥλιος, καὶ αὐγάζουσαν, τῶν εὐθέων τὰ πνεύματα· ἅπαντες οὖν φιλέορτοι, εὐθύτητα κτήσασθαι, ἀγωνισθῶμεν καὶ πάσας, τὰς πονηρίας ἐκβάλωμεν· καὶ οὕτω σκηνώσῃ, ἐν ἡμῖν ἡ θεία χάρις, τὸ φῶς τὸ ἄδυτον.

*Δόξα. Ἦχος β΄.*

Τῶν ἀσκητῶν τὴν καλλονήν, τῶν ὑπηκόων τὸ καύχημα, τῆς ἐρήμου τὸν ἔνθεον μοναστήν, Παῦλον τὸν θεῖον καὶ ἁπλοῦν, ἀξίως τιμήσωμεν. Ἐν δόξῃ γὰρ καὶ ἀγαλλιάσει, τῇ Ζωαρχικῇ Τριάδι παριστάμενος, μετὰ τῶν Ὁσίων Πατέρων πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτοῦ.

*Θεοτοκίον*

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Πάντων ἔτεμες, παθῶν τὰς ῥίζας, ταπεινώσει τε, καὶ τῇ ἀσκήσει, καὶ τῇ χάριτι τοῦ Πνεύματος ἔνδοξε, διὸ δαιμόνων τὰ στίφη κατήσχυνας, καὶ τὸν Χριστὸν ἐν καρδίᾳ ἐδόξασας· Παῦλε Ὅσιε, Αὐτὸν καθικέτευε, φωτῖσαι τὰς ψυχὰς ἡμῶν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Προσευχὴν ἀένναον, ἐν τῇ καρδίᾳ, κεκτημένος Ὅσιε, καὶ τὴν ταπείνωσιν ὁμοῦ, ἐγένου οἶκος τοῦ Πνεύματος, πάντας φωτίζων, τοῖς λόγοις καὶ ἔργοις σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐν χερσί Σου ἄχραντε, Παρθενομῆτορ, τὴν ψυχήν μου τίθημι, ἐν αἷς τὸν λόγον τοῦ Θεοῦ, σωματωθέντα ἐβάστασας, κάθαρον ταύτην, φώτισον κόσμησον.

*Μετὰ τὴν β΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Τῶν παθῶν ἀνωτέρας, ἀναδειχθεὶς θεοφόρε, ἐν συντόμῳ ἅπασαν, τῶν ἀρετῶν τὴν χορείαν, ἔκτισας, ὥσπερ ναὸν ἐν καρδίᾳ, οἴκημα αὐτὴν τοῦ Πνεύματος ἀναδείξας· Ὁ ἱκέτευε ἀπαύστως, θεόφρον Παῦλε, ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν ψυχήν μου Δέσποινα, καὶ τὰς αἰσθήσεις μου πάσας, τόν τε νοῦν διάνοιαν, καὶ φαντασίαν μου ἅμα, ῥύθμισον, ἐπὶ τὸ βέλτιον Θεοτόκε· δός μοι δέ, πρὸς τὸν Υἱόν Σου θερμὴν ἀγάπην, καὶ ἐγχάραξον βαθέως, ὄνομα Τούτου, ἐν τῇ καρδίᾳ ἁγνή.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Θεῖον Παῦλον ὑμνῶ. Ἰωάννης Ἱερομ. Ἁγιορ.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Θεὸν ὃν ἠγάπησας, καὶ ὑπὲρ οὗ κατεφρόνησας, τὰ πάντα ἀοίδιμε, ἐν προθυμίᾳ πολλῇ, καθικέτευε, τὸν νοῦν μου καταυγᾶσαι, ὑμνῆσαι τὴν μνήμην σου, Παῦλε γηθόμενος.

Ἐπλήρωσας Ὅσιε, Χριστοῦ τὸν λόγον καὶ ἔλιπες, τὸ ἔμμυστον γύναιον, οὐ συγχρωτίζεσθαι γάρ, τὰ τοῦ Πνεύματος, δοχεῖα τοῖς ἀνάγνοις, ὁ νόμος ἐντέλεται, ὅθεν ὑμνοῦμέν σου.

Ἱέρευσας ἔνδοξε, σαυτὸν ὡς θῦμα θεόδεκτον, ψυχὴν μὴ φιλήσας σου, ὑπὲρ Χριστὸν τὸν Θεόν· ὅθεν ᾄρας σύ, ἐπ’ ὤμων τὸν ζυγόν του, Αὐτῷ ἠκολούθησας, χαίρων τῷ Πνεύματι.

*Θεοτοκίον.*

Ὁ πόθος πανάσπιλε, ὁ τῆς καρδίας καὶ ἔρως μου, πρός Σε καταφλέγει με, τοῦ μεγαλεῖα τὰ Σά, καὶ ἀγάπησιν, τὴν πρὸς ἡμᾶς κηρῦξαι, τρανῶς ἀπαξάπασιν, ὅθεν με φώτισον.

*Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Ναὸν τῆς Τριάδος ἀπειργάσω, ψυχὴν καὶ τὸ σῶμά σου σαφῶςς, ἀπεκδυθεὶς τὸν δύσμορφον, παθῶν χιτῶνα Ὅσιε, καὶ ἀρετῶν τὸ ἔνδοξον, Χριστοῦ φορέσας ἱμάτιον.

Ποθῶν τοῦ τυχεῖν τῆς ἄνω δόξης, τὸν μέγαν Ἀντώνιον σοφέ, ἐξέλεξας διδάσκαλον, ὑφ’ οὗ ποδηγετούμενος, πράξει καὶ θεωρίᾳ τε, τῆς σῆς ἐφέσεως ἔτυχες.

Ἀΰλως τὰ θεῖα διαθέων, νοὸς ἐνεργείᾳ μυστικῇ, καὶ Πνεύματι ἀγόμενος, τὰ ὑπὲρ νοῦν μεμύησαι, καὶ ὅλως ἐξιστάμενος, Θεοῦ τὴν δόξαν ἐδόξαζες.

Ὑψώθης ταπείνωσιν ἐμφρόνως, κτησάμενος καὶ ὑπακοήν, καὶ πένθος καὶ πραότητα, καὶ προσευχὴν ἀθόλωτον, καὶ καθαρὰν καρδίαν δέ, καὶ τὴν εἰρήνην τὴν ἔνθεον.

*Θεοτοκίον.*

Λαμπρῶς οἱ Προφῆται πρὸ αἰώνων, τὴν δόξαν προήγγειλαν τὴν Σήν, τὴν ἄφραστον Θεόνυμφε, προωρισμένη ᾖσθαι γάρ, ὑπὸ Θεοῦ γενήσεσθαι, Θεοῦ τοῦ Λόγου λοχεύτρια.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὴν πρᾳότητα Πάτερ πεπλουτηκώς, καὶ τὴν θείαν ταπείνωσιν τοῦ Χριστοῦ, τὰ δύο ἐξαίρετα, Ὀρθοδόξων τεκμήρια, καὶ τὴν διπλὴν ἀγάπην, Θεοῦ καὶ ἀνθρώπων τε, τῶν θαυμάτων τὴν χάριν, Χριστός σοι δεδώρηκεν· ὅθεν ἐκδιώκεις, τῇ Χριστοῦ ἐπικλήσει, τὸν δαίμονα Ὅσιε, καὶ λυτροῦσαι τὸν πάσχοντα, Παῦλε θεῖε μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς δανείσας Κόρη ἐκ τῶν ἁγνῶν, Σοῦ αἱμάτων τὴν Σάρκα τοῦ Ἰησοῦ, καὶ Τοῦτον θηλάσασα, καὶ ἀγκάλαις βαστάσασα, ἐκ δεξιῶν καθέζῃ Αὐτοῦ ὡς Βασίλισσα, ἀποστίλβουσα ξένως, τῇ δόξῃ καὶ χάριτι,

ὡς Κεχαριτώμενη, Θεοτόκε Μαρία, καθὰ καὶ ὁ Ἄγγελος, ὁ πεμφθείς Σοι ὀνώμασε, μεθ’ οὗ πάντες βοῶμέν Σοι· Χαῖρε θεῖον σκήνωμα τοῦ Χριστοῦ, καὶ ναὲ καὶ θρόνε καὶ ἀνάκτορον, καὶ πάσης κτίσεως θαῦμα, ὑπὲρ πᾶσαν κατάληψιν.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ὁ ἁπλοῦς τοῖς τρόποις Παῦλος, καὶ σοφὸς τὴν διάνοιαν, τὰ παρόντα πάντα, σκύβαλα ἐμφρόνως ἡγήσαντο, καὶ τῇ ἀσκήσει χωρίσας ἠγωνίσατο, καὶ ἐκραύγαζε· Δόξα Χριστὲ τῇ δυνάμει Σου.

Νέος ὥσπερ ἦς τοὺς χρόνους, τὴν νηστείαν ἐξήσκησας, μηδαμῶς τὸ γῆρας, ὅλως ἐμποδών σοι γενόμενον, ἀλλ’ ἀγρυπνίᾳ, εὐχῇ τε καθαιρόμενος, ἀνεκραύγαζες· Δόξα Χριστὲ τῇ δυνάμει Σου.

*Θεοτοκίον.*

Ὑπερέβης πάντα Κόρη, τῶν Αγγέλων τὰ τάγματα, ἀρετῶν τῷ πλήθει, καὶ τῇ ὑπερλάμπρῳ ἁγνότητι· διὸ σὺν τούτοις οἱ πάντες ἀνυμνοῦμέν Σε, γηθοσύνως· χαῖρε Θεοτόκε κραυγάζοντες.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Μαράνας τὴν σάρκα σου, τῇ κακουχίᾳ Ὅσιε, νέκρωσιν τὴν θείαν ἐνεδύθης· ζῶν ἐν Χριστῷ δέ, καὶ ὁ Χριστὸς ἐν τῇ σῇ, καρδίᾳ τῆς χάριτος υἱός, ἐγένου Παῦλε ἔνδοξε καὶ δοχεῖον τοῦ Πνεύματος.

Νοῶν τὰ τοῦ Πνεύματος, τὰς ἐντολὰς ἐτήρησας, τοῦ Εὐαγγελίου Πάτερ πάσας, ὅθεν ὡς φοίνιξ, ἀνυψωθεὶς

ἐν Θεῷ, συνήφθης Αὐτῷ καὶ τὴν φαιδράν, λάμψιν ἐν καρδίᾳ σου, καθαρθεὶς κατεπλούτησας.

Ὡραῖοι οἱ Ἄγγελοι, λαμπρὰ ἡ κτίσις ἅπασα, ὡς ὑπὸ Θεοῦ τὸ εἶναι σχόντα, οὐκ ἔστιν ὅμως, τοσούτῳ φίλον Θεῷ, ψυχῆς καθαρθείσης ἐν Χριστῷ· τοῦτο δὲ ἀπέδειξε, τοῦ Θεοῦ μου ἡ σάρκωσις.

*Θεοτοκίον.*

Ἰάτρευσον ἄχραντε, τὰ ἕλκη τῆς καρδίας μου, τὰ ἐκ τῶν παθῶν μου ὀρυχθέντα· Σὺ γὰρ τὸν νόσοις καὶ ἀσθενείας ἡμῶν, βαστάσασα ἄχρονον Υἱόν, τέτοκας ἀσπόρως τε, ὑπὲρ λόγον καὶ ἔννοιαν.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὡς θαυμαστὴ ἡ ἁπλότης σου, θεόφρον καὶ ἡ θεία πρᾳότης σου, καὶ ἡ ἀπάθεια, Παῦλε πρὸς ἣν κατηξίωσας, τῷ ἀπαθεῖ τῇ φύσει Θεῷ ἑννούμενος.

Ἀγάπην θείαν κτησάμενος, τὰ ἔργα τῆς ἀγάπης εἰργάζεσο, πρὸς τὸν πλησίον σου, νόσους τὰς τούτων ἰώμενος, καὶ δαίμονας διώκων, Χριστοῦ τῇ χάριτι.

Ναὸν Θεοῦ τὴν καρδίαν σου, ἐτέλεσας ἐν ᾧπερ κατῴκησε, Λόγος ὁ ἄναρχος, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι· Ὃν ἐκδυσώπει Πάτερ, ὑπὲρ τῶν τέκνων σου.

*Θεοτοκίον.*

Ναὸς καὶ ἔμψυχον τέμενος, ἐν ᾧ ὁ ἀπερίληπτος ᾤκησε, καὶ κατειργάσετο, σάρκα Αὐτοῦ τὴν ἀκήρατον, Σὺ ἀνεδείχθης Κόρη, Μαρία ἔνδοξε.

*Κοντάκιον. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὸ ἄκρον ἐφετόν, ἀγαπήσας θεόφρον, τὴν τύρβην τὴν τῆς γῆς, σὺν συζύγῳ ἀφῆκας, καὶ ἔδραμες ὄπισθεν, Ἰησοῦ τοῦ οἰκτίρμονος, ἐντολαῖς Αὐτοῦ, ἐν ἀκριβρίᾳ φυλάττων, τὴν ἀκρόπολιν, τῶν ἀρετῶν οὖν φθάσας, μετέστης πρὸς Κύριον.

*Ὁ Οἶκος.*

Τὸν Παῦλον τὸν ἁπλοῦν καὶ ἀκέραιον, τὸν πρᾷον, τὸν ταπεινὸν καὶ ἄκακον καὶ ἡσύχιον, τὸν ὀλετῆρα τῶν δαιμόνων καὶ πρέσβυν ἄγρυπνον τῶν Ὀρθοδόξων· ἐν ᾧ κατῴκησε Τριὰς ἡ Ἁγία. Πρός τίνα γάρ, φησίν, ἐπιβλέψω; ἀλλ' ἢ ἐπὶ τὸ πρᾷον καὶ ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Πάντες οἱ γηγενεῖς ὑμνήσωμεν· οὗτος γὰρ τὰς ἐντολὰς τοῦ Κυρίου ἐν ἀκριβείᾳ φυλάξας, καὶ τὴν διπλὴν ἀγάπην, τὴν ἀκρόπολιν, τῶν ἀρετῶν οὖν φθάσας, μετέστης πρὸς Κύριον.

Συναξάριον.

Τῇ Ζ᾽ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Παύλου τοῦ Ἁπλοῦ.

*Γῆθεν μεταστὰς πρὸς Θεὸν Παῦλος Λόγου,*
*Τῆς ἁπλότητος πολλαπλᾶ στέφη λάβοι.*
*Ἑβδομάτῃ ἁπλοῦς μετῆρε Παῦλος ἄντθγα Οὐρανοῦ*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ἡ ἀκήρατος, κατέχει νῦν τὸ πνεῦμά σου, καὶ πανευφρόσυνος, τῶν πρωτοτόκων Σιών, ἐν ᾗ ἀγαλλόμενος, μέλπεις τῷ Κτίσαντι· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σοῦ τὴν κοίμησιν, οἱ πόθῳ νῦν γεραίροντες, καθικετεύομεν, ῥῦσαι ἡμᾶς πειρασμῶν, καὶ νόσων πρεσβείαις σου, ὅπως κραυγάζομεν· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἴχνη ὅλως τε, κακίας ἐν καρδίᾳ σου, Παῦλε μακάριε, καὶ πονηρῶν ἐννοιῶν, τὸ νέφος οὐκ ἔστησας, ὅθεν καὶ ἔψαλλες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἐπὶ Σὲ ἁγνή, τὸ ὄμμα τῆς καρδίας μου, ἐπανατείνω ἀεί, ὡς ἄν με ῥύσῃς τῶν παθῶν, τὰ πάντα γὰρ δύνασαι, Μήτηρ ὑπάρχουσα, τοῦ παντάνακτος· Θεοκυῆτορ Δέσποινα, Ὀρθοδόξων ἡ προστάτις.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ῥήματα ζωῆς, ἐν Ἀντωνίῳ εὑράμενος, Παῦλε παμμακάριστε, τούτῳ καθυπέταξας, πᾶσάν σου τὴν θέλησιν, ἕως ἀνὴρ τοῦ Πνεύματος, ἐγένου Ὅσιε· τὸν Κύριον, ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, τὰ ἔργα εἰς αἰῶνας.

Ὅλως τοὺς γηΐνουτς ἐπανέστης, ὁ ἔρως γὰρ τοῦ Χριστοῦ σοφὲ κατέφλεγεν, ὅθεν τὰς πορείας σου, τῷ Πνεύματι ἀγόμενος, πρὸς οὐρανὸν διηύθυνες, ᾄεὶ

γηθόμενος· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, κραυγάζων εἰς αἰῶνας.

Μόνον τὸν σκοπὸν ἐπιδιώκων, δι’ ὃν τὰ τοῦ κόσμου κατέλιπες, τούτου οὐ διήμαρτες, νήφων Παῦλε Ὅσιε, καὶ προσευχῆς ἀείποτε, ἐπιμελούμενος· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, κραυγάζων εἰς αἰῶνας.

*Θεοτοκίον.*

Ἅρμα εὐαγὲς Θεοῦ τοῦ Λόγου, ὁ πάλαι πoροφητικὸς νοῦς ἐθεάσατο, Θρόνον καὶ Ἀνάκτορον, Πύλην Κλίνην Τράπεαν, ἕτεροι πανύμνητε ἡμᾶς διάσωσον, τὸ χαῖρε, Σοὶ ἀπαύστως βοῶντας· ὑπερευλογημένη καὶ Κεχαριτωμένη.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Γέρα σοι Χριστὸς, ὦ Παῦλε δεδώρηκας, ὁ πλουσιόδωρος, πᾶσάν σου τὴν ἄσκησιν, δεχθεὶς ὡς δῶρον σοφὲ εὐπρόσδεκτον· διὸ τὴν σὴν νῦν κοίμησιν, τιμῶντες Ὅσιε, ἐκβοῶμεν· πρέσβευε μακάριε, ὑπὲρ πάντων ἡμῶν τὸν Φιλάνθρωπον.

Ἵνα τῆς χαρᾶς, καὶ σοῦ τῆς λαμπρότητος ἀξιωθήσωμαι, πάντας τοὺς Ἀγγγέλους Σου, Χριστὲ Σωτήρ μου, πρέσβεις προβάλλομαι, καὶ Παῦλον τὸν ἁπλούστατον, Προφήτας Μάρτυρας, τοὺς Ὁσίους, Ἱεράρχας ἅπαντας· πρὸ δὲ τούτων, τὴν θείαν Μητέρα Σου.

Ὄλβον τοῦ Χριστοῦ, πληρούμενος Ὅσιε, καὶ τὸν Τρισάγιον, ᾄδων μετ’ Ἀγγέλων τε, τῷ τρισηλίῳ Θεῷ καὶ

πρύτανι, καὶ δόξῃ αὐγαζόμενος, ἐκεῖθεν ἄπαυστα, ὑπὲρ πάντων, Αὐτὸν καθικέτευε, τῶν τιμώντων τὴν μνήμην σου ἔνδοξε.

*Θεοτοκίον.*

Ῥώμην τῇ ψυχῇ, τὰ θεῖα ἐργάζεσθαι, δός μοι πανάμωμε, φωτισμὸν δὲ τῷ νοΐ, ὑμνεῖν ἀπαύστως, Σὴν δόξαν ἄφραστον, ἐξ ὅλης τῆς καρδίας μου, ἄχραντε οἴκοθεν, καὶ κραυγάζειν· Χαίροις παμμακάριστε.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τὸν Παῦλον τὸν ἁπλούστατον, τὸν μαθητῆν γενόμενον, τοῦ Ἀντωνίου τοῦ πάνυ, καὶ ἐντολῶν τὸν ἐργάτην, Χριστοῦ μου τοῦ παντάνακτος, ἐν ὕμνοις εὐφημήσωμεν, ὡς ἂν πρεσβεύει ἀπαύστως, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα.

*Θεοτοκίον.*

Ἁγνὴ Παρθένε πάνσεμνε, Χριστοῦ Μῆτερ ἄφθορε, τὸ τῆς Ἁγίας Τριάδος, κατοικητήριον θεῖον· Ἀγγέλων ἡ Βασίλισσα, ἀνθρώπων γένους καύχημα, σῶζε ἀεὶ τῶν θλιβόντων, τοὺς Σὲ θερμῶς ἀνυμνοῦντας.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τοῦ παραδόξου θαύματος, Παῦλος ὁ θεῖος πιστοί, ὁ ἁπλοῦς καὶ ἀκέραιος, τὸν ἐχθρὸν κατήσχυνε, τῇ δυνάμει τοῦ Πνεύματος, τῇ ταπεινώσει καὶ τῇ πρᾳότητι, καὶ τοῖς δακρύοις, καταρδευόμενος, πᾶσαν κατώρθωσεν, ἀρετὴν ὁ Ὅσιος καὶ μεταστάς, πόλιν πρὸς οὐράνιον, ὑπὲρ ἡμῶν δυσωπεῖ. *(Δίς)*

Παῦλε θεόφρον μακάριε, ὡς τὸν γλυκὺν Ἰησοῦν, ἀγαπήσας θερμότατα, ἐν καρδίᾳ πάντοτε, καὶ ἐν στόματι ἔφερες, ὄνομα Τούτου, κοσμοσωτήριον, δι' οὗ δαιμόνων, ὀφρὺν κατέβαλες, ὅθεν κατεπλούτισε, τὴν ψυχήν μου ἔνδοξε ταῖς δωρεαῖς· Τούτῳ Πάτερ πρέσβευε, ὑπὲρ ἡμῶν ἐκτενῶς.

Πάντα τὰ πάθη ἐνέκρωσας, τὰ τῆς ψυχῆς καὶ σαρκός, καὶ τὸν νοῦν ἀνεπτέρωσας, πρὸς τὸν θεῖον ἔρωτα, τῇ ἐρεύνῃ τῆς κτίσεως· Παῦλε θεόφρον καὶ τοῖς δωρήμασι, παρὰ Κυρίου, ὧν ἀπολαμβάνομεν, καὶ τοῖς παθήμασι, τοῦ Χριστοῦ πανόλβιε Ὃν ἐκτενῶς, πάντοτε ἱκέτευε, ὑπὲρ ἁπάντων ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε τῶν πιστῶν ἡ πληθύς, καὶ μοναστῶν ὁ σύλλογος, δεῦτε χορεῖαν στησώμεθα, καὶ γηθοσύνως ἑορτάσωμεν τὴν μνήμην τοῦ τρισμάκαρος Παύλου τοῦ Ὁσίου. Οὗτος γὰρ ἐν ἀμφοτέροις τοῖς βίοις εὐδοκιμήσας, τῇ ἐργασίᾳ καὶ ἐκπληρώσει τῶν ἐντολῶν τοῦ Κυρίου, μετέστη εἰς οὐρανούς, δρεψόμενος τὰ γέρα τῶν καμάτων. Ἔνθα συγχορεύων τοῖς Ὁσίοις καὶ πᾶσι τοῖς Ἁγίοις, πρεσβεύει ἀπαύστως τῷ Σωτῆρι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ.

Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

